## ΕΙΣ ΔΙΚΗΝ, ΕΝ Ω ΚΑΙ ΕΙΣ πρόνοιαν, κεφ. κβ.

Ἄδηλον.

Ἀσπὶς ἀχιλλῆος τὴν ἕκτορος αἷμα πιοῦσαν,
Λαρτιάδης δαναῶν εἷλε κακοκρισίῃ·
Ναυηγοῦ δ' ἡ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον
Αἴαντος νηκτὴν ὥρμισεν, οὐκ ἰθάκῃ.

Εἰς τὸ αὐτό.

Καλὰ ποσειδάων δίκασεν πολὺ μᾶλλον ἀθήνης,
Καὶ κρίσιν ἑλλήνων συγχερὴν ἀπέδειξε θάλασσα.
Ἀσπὶς ἐν αἰγιαλοῖσι βοᾷ, καὶ σῆμα τινάσσει,
Αὐτόν σ' ἐκκαλέουσα τὸν ἄξιον ἀσπιδιώτην,
Ἔρχεο παῖ τελαμῶνος, ἔχεις σάκος αἰακίδαο.

Ἄδηλον.

Κρανίον ἐν τριόδοισι κατοιχομένου τις ἐσαθρῶν,
Εἰκόνα τὴν κοινὴν οὐκ ἐδάκρυσε βίου·
Δεξιτερὴν δ' ἔρριψεν ἐπὶ χθόνα, καὶ λίθον ἧκε,
Κωφὸν μὲν δοκέοντ', ἀλλὰ πνέοντα δίκης.
Ὀστέον ὡς γὰρ ἔπληξεν, ἀφήλατο, καὶ τὸν ἀφέντα
Πήρωσε, γλυκεροῦ βλέμματος ὀρφανίσας.
Καὶ πάλιν εἰς ἀΐδην ἐκολάζετο· τὴν ἰδίην δὲ
Ἔκλαυσεν χειρῶν εὔστοχον ἀφροσύνην.

ΒΙΑΝΟΡΟΣ.

Ἀγγελίην παρὰ ζηνὸς ἐπεὶ φέρεν ἠεροδινὴς
Αἰετὸς, οἰωνῶν μοῦνος ἐνουράνιος,

Οὐκ